2 (Harpocrat. *s. v.* ἀποφοράν).

Εἴπερ γοῦν ὥριζον ταῖς ἀποφοραῖς ταύταις τῶν ποδῶν ἀλλότριον εἶναι τὸ χωρίον.

---

## VIII

(Cf. p. 218).

## ΥΠΕΡ ΕΥΜΑΘΟΥΣ ΕΙΣ ΕΛΕΥΘΕΡΙΑΝ ΑΦΑΙΡΕΣΙΣ

### Ὑπόθεσις

Ἔστι δή τις Ἰσαίου λόγος ὑπὲρ Εὐμάθους μετοίκου τινὸς τῶν τραπεζιτευόντων Ἀθήνησιν, ὃν εἰς δουλείαν ἀγόμενον ὑπὸ τοῦ κληρονομήσαντος τὸν ἀπηλευθερωκότα τῶν ἀστῶν τις ἀφαιρεῖται καὶ τὴν ἀπολογίαν ποιεῖται περὶ αὐτοῦ. Τὸ προοίμιον δέ ἐστι τοῦ λόγου τοιόνδε.

1

1 Ἄνδρες δικασταί, ἐγὼ καὶ πρότερον Εὐμάθει τουτῳὶ ἐγενόμην χρήσιμος δικαίως, καὶ νῦν, εἴ τι ἔστι κατ᾽ ἐμέ, πειράσομαι συσσῴζειν αὐτὸν μεθ᾽ ὑμῶν· μικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς ὑπολάβῃ ὑμῶν ὡς ἐγὼ προπετείᾳ ἢ ἄλλῃ τινὶ ἀδικίᾳ πρὸς τὰ Εὐμάθους πράγματα προσῆλθον. 2 Τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδότου ἄρχοντος καὶ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους ὡς ἄρα τετελευ-